ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή της Ινδίκτου

1 Σεπτεμβρίου 2019

Απόστολος – ΠΡΟΣ Α’ ΤΙΜΟΘΕΟΝ Β’ 1-7

Τέκνον Τιμόθεε, παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος, ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

Απόστολος – Μετάφραση, ΠΡΟΣ Α’ ΤΙΜΟΘΕΟΝ Β’ 1-7

Παιδί μου Τιμόθεε, σας παρακαλώ πρώτα απ’ όλα να κάνετε δεήσεις, προσευχές, παρακλήσεις, ευχαριστίες για όλους τους ανθρώπους, για τους κυβερνήτες και για όλους εκείνους που ασκούν την εξουσία, ώστε να ζούμε ήρεμα και ειρηνικά με ευσέβεια κι ευπρέπεια από κάθε άποψη. Αυτό είναι καλό κι ευπρόσδεκτο από το σωτήρα μας Θεό, ο οποίος θέλει να σωθούν όλοι οι άνθρωποι και να γνωρίσουν σε βάθος την αλήθεια. Γιατί ένας είναι ο Θεός κι ένας ο μεσίτης μεταξύ Θεού και ανθρώπων, ο άνθρωπος Ιησούς Χριστός, που πρόσφερε τη ζωή του λύτρο για χάρη όλων. Έτσι, στον προσδιορισμένο καιρό, έδωσε ο Θεός τη μαρτυρία του ότι θέλει να σώσει τον κόσμο. Αυτής της μαρτυρίας με έταξε ο Θεός κήρυκα και απόστολο –την αλήθεια λέω ενώπιον του Χριστού, δεν ψεύδομαι– για να διδάξω την πίστη και την αλήθεια στους εθνικούς.

Ευαγγέλιο - ΚΑΤΑ ΛΟΥΚΑΝ Δ’ 16-22

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου, καὶ ἀναπτύξας τὸ βιβλίον εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον· Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρῦξαι ἐνιαυτὸν Κυρίου δεκτόν. Καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. Ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. Καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΛΟΥΚΑΝ Δ’ 16-22

Εκείνο τον καιρό, ο Ιησούς ήρθε στη Ναζαρέτ, όπου είχε μεγαλώσει. Το Σάββατο πήγε όπως συνήθιζε στη συναγωγή και σηκώθηκε να διαβάσει τις Γραφές. Του έδωσαν το χειρόγραφο με τα λόγια του προφήτη Ησαΐα. Ο Ιησούς το ξετύλιξε και βρήκε το σημείο όπου ήταν γραμμένο το εξής: Το Πνεύμα του Κυρίου με κατέχει, γιατί ο Κύριος με έχρισε και μ’ έστειλε ν’ αναγγείλω το χαρμόσυνο μήνυμα στους φτωχούς να θεραπεύσω τους συντριμμένους ψυχικά. Στους αιχμαλώτους να κηρύξω απελευθέρωση και στους τυφλούς ότι θα βρουν το φως τους, να φέρω λευτεριά στους τσακισμένους, να αναγγείλω του καιρού τον ερχομό που ο Κύριος θα φέρει τη σωτηρία στο λαό του. Ύστερα τύλιξε το χειρόγραφο, το έδωσε στον υπηρέτη και κάθισε. Τα μάτια όλων στη συναγωγή ήταν προσηλωμένα πάνω του. Άρχισε τότε να τους λέει: «Σήμερα βρίσκει την εκπλήρωσή της η προφητεία που μόλις ακούσατε». Όλοι συμφωνούσαν μαζί του· θαύμαζαν για τα γεμάτα χάρη λόγια που έβγαιναν από το στόμα του.

1 Σεπτεμβρίου 2019, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης